ὄντα· τῶν γὰρ γεγονότων οὐδὲν ἔστιν οὐδ' ὑφέστηκεν, ἀλλ'
ἅμα γίγνεται πάντα καὶ φθείρεται, καὶ πράξεις καὶ λόγοι
καὶ παθήματα, τοῦ χρόνου καθάπερ ῥεύματος ἕκαστα
B παραφέροντος· αὕτη δὲ τῆς ψυχῆς ἡ δύναμις οὐκ οἶδ'
ὅντινα τρόπον ἀντιλαμβανομένη τοῖς μὴ παροῦσι φαντασίαν καὶ οὐσίαν περιτίθησιν. ὁ μὲν γὰρ Θεσσαλοῖς περὶ
Ἄρνης δοθεὶς χρησμὸς ἐκέλευε φράζειν

'κωφοῦ τ' ἀκοὴν τυφλοῖό τε δέρξιν,'

ἡ δὲ μνήμη καὶ κωφῶν πραγμάτων ἀκοὴ καὶ τυφλῶν
ὄψις ἡμῖν ἐστιν. ὅθεν, ὡς ἔφην, οὐκ ἔστι θαυμαστόν, εἰ
κρατοῦσα τῶν μηκέτ' ὄντων προλαμβάνει πολλὰ τῶν
μηδέπω γεγονότων· ταῦτα γὰρ αὐτῇ μᾶλλον προσήκει
καὶ τούτοις συμπαθής ἐστι· καὶ γὰρ ἐπιβάλλεται καὶ
προτίθεται πρὸς τὰ μέλλοντα καὶ ⟨τῶν⟩ παρῳχημένων
καὶ τέλος ἐχόντων ἀπήλλακται πλὴν τοῦ μνημονεύειν.
**(40.)** ταύτην οὖν ἔχουσαι τὴν δύναμιν αἱ ψυχαὶ σύμφυτον
C μὲν ἀμυδρὰν δὲ καὶ δυσφάνταστον ὅμως ἐξανθοῦσι πολλάκις καὶ ἀναλάμπουσιν ἔν τε τοῖς ἐνυπνίοις καὶ περὶ
τὰς τελευτὰς ἔνιαι καθαροῦ γιγνομένου τοῦ σώματος ἤ
τινα κρᾶσιν οἰκείαν πρὸς τοῦτο λαμβάνοντος, ὥστε τὸ
λογιστικὸν καὶ φροντιστικὸν ἀνίεσθαι καὶ ἀπολύεσθαι
τῶν παρόντων, ⟨τῷ⟩ ἀλόγῳ καὶ φανταστικῷ τοῦ
μέλλοντος ἐπιστρεφόμεναι. οὐ γάρ, ὡς ὁ Εὐριπίδης
φησί (fr. 973), 'μάντις ἄριστος ὅστις εἰκάζει καλῶς,'
ἀλλ' οὗτος ἔμφρων μὲν ἀνὴρ καὶ τῷ νοῦν ἔχοντι τῆς
ψυχῆς καὶ μετ' εἰκότος ἡγουμένῳ καθ' ὁδὸν ἑπόμενος,
τὸ δὲ μαντικὸν ὥσπερ γραμματεῖον ἄγραφον καὶ ἄλογον